UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Antonini Liberalis Transformationum congeries

**Antonius <Liberalis>**

**Basileae, 1568**

**VD16 A 2960**

Μάρκου Ἀντωνίνου αύτοράτορ[ος], των είς έαυτόν Βίβλίον ιβ.

urn:nbn:de:hbz:466:1-70288

Visual Library

# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον ιβ'.

ΠΑΝΤΑ ἐκεῖνα ἐφ' ἃ διὰ περιόδου εὔχῃ ἐλθεῖν, ἤδη ἔχειν δύνασαι, ἐὰν μὴ σαυτῷ φθονῇς. τοῦτο δ' ἐστὶν, ἐὰν πᾶν τὸ παρελθὸν καταλίπῃς, καὶ τὸ μέλλον ἐπιτρέψῃς τῇ προνοίᾳ. καὶ τὸ παρὸν μόνον ἀπευθύνῃς πρὸς ὁσιότητα καὶ δικαιοσύνην. ὁσιότητα μὲν, ἵνα φιλῇς τὸ ἀπονεμόμενον. σοὶ γὰρ αὐτὸ ἡ φύσις ἔφερε, καὶ σὲ τούτῳ. δικαιοσύνην δὲ, ἵνα ἐλευθέρως καὶ χωρὶς περιπλοκῆς λέγῃς τε τἀληθῆ, καὶ πράσσῃς τὰ κατὰ νόμον, καὶ κατ' ἀξίαν. μὴ ἐμποδίζῃ δέ σε, μήτε κακία ἀλλοτρία, μήτε ὑπόληψις, μήτε φωνὴ, μηδὲ μὴν αἴσθησις τοῦ περιτεθραμμένου σοι σαρκιδίου. ὄψεται γὰρ τὸ πάσχον. ἐὰν οὖν ὅτε δήποτε πρὸς ἐξόδῳ γένῃ, πάντα τὰ ἄλλα καταλιπὼν, μόνον τὸ ἡγεμονικόν σου, καὶ τὸ ἐν σοὶ θεῖον τιμήσῃς, καὶ τὸ μὴ παύσεσθαί ποτε ζῆν φοβηθῇς, ἀλλὰ τό γε μηδέποτε ἄρξασθαι κατὰ φύσιν ζῆν· ἔσῃ ἄνθρωπος ἄξιος τοῦ γεννήσαντος κόσμου, καὶ παύσῃ ξένος ὢν τῆς πατρίδος, καὶ θαυμάζων ὡς ἀπροσδό-

ἀπροσδόκητα τὰ καθ' ἡμέραν γινόμενα, καὶ κρέμασθαι ἐκ τοῦδε καὶ τοῦδε. Ὁ θεὸς πάντα τὰ ἡγεμονικὰ, γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. μόνῳ γὰρ τῷ ἑαυτοῦ νοερῷ μόνων ἅπτεται, τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐρρυηκότων καὶ ἀπωχετευμένων. ἐὰν δὲ καὶ σὺ τοῦτο ἐθίσῃς ποιεῖν, τὸν πολὺν περισπασμὸν σεαυτοῦ περιαιρήσεις. ὁ γὰρ μὴ τὰ περικείμενα κρεάδια ὁρῶν, ἦπου γε ἐσθῆτα, καὶ οἰκίαν, καὶ δόξαν, καὶ τὴν τοιαύτην περιβολὴν καὶ σκηνὴν θεώμενος, ἀσχολήσεται; τρία ἐστὶν ἐξ ὧν συνέστηκας, σωμάτιον, πνευμάτιον, νοῦς. τούτων τἆλλα μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν σά ἐστι. τὸ δὲ τρίτον μόνον κυρίως σόν, ὃ ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τουτέστιν ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι ποιοῦσιν ἢ λέγουσιν ἢ ὅσα αὐτὸς ἐποίησας ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσει, καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου, ἢ τοῦ συμφυοῦς πνευματίου, ἀπροαίρετα πρόσεστι, καὶ ὅσα ἡ ἔξωθεν περιρρέουσα δίνη ἑλίσσει, ὥστε τῶν συμμαρμένων ἐξῃρημένην καθαρὰν τὴν νοερὰν δύναμιν ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια, καὶ θέλουσαν τὰ συμβαίνοντα, καὶ λέγουσαν τἀληθῆ, ἐὰν χωρίσῃς φημὶ τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας, καὶ τοῦ χρόνου τὰ ἐπέκεινα, ἢ τὰ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν, οἷος ὁ Ἐμπεδόκλειος σφαῖρος κυκλο-

τερὴς μονίῃ περιηγέι γαίων, μόνον τε ζῆν ἐκμε-
λετήσῃς ὃ ζῇς, τουτέστι τὸ παρὸν, δυνήσῃ τό γε μέ-
χρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον, ἀταράχ-
ως καὶ εὐγενῶς, καὶ ἵλεως τῷ σαυτοῦ δαίμονι
διαβιῶναι. Πολλάκις ἐθαύμασα, πῶς ἑαυτὸν μὲν
ἕκαστος μᾶλλον πάντων φιλεῖ, τὴν δὲ ἑαυτοῦ πε-
ρὶ αὑτοῦ ὑπόληψιν ἐν ἐλάττονι λόγῳ τίθεται, ἢ
τὴν τῶν ἄλλων. Ἐὰν γοῦν τινα θεὸς ἐπιστὰς, ἢ δι-
δάσκαλος ἔμφρων κελεύσῃ μηδὲν καθ' ἑαυτὸν ἐν-
θυμεῖσθαι καὶ διανοεῖσθαι, ὃ μὴ ἅμα γεγωνίσκων
ἐξοίσει, οὐδὲ πρὸς μίαν ἡμέραν τοῦτο ὑπομενεῖ.
οὕτω τοὺς πέλας μᾶλλον αἰδούμεθα τί ποτε πε-
ρὶ ἡμῶν φρονήσουσιν, ἢ ἑαυτούς. Πῶς ποτε πάν-
τα καλῶς καὶ φιλανθρώπως διατάξαντες οἱ
θεοὶ, τοῦτο μόνον παρεῖδον, τὸ ἐνίους τῶν ἀνθρώ-
πων καὶ πάνυ χρηστοὺς, καὶ πλεῖστα πρὸς τὸ
θεῖον ὥσπερ συμβόλαια θεμένους, καὶ ἐπὶ πλεῖ-
στον δι' ἔργων ὁσίων καὶ ἱερουργιῶν συνήθεις τῷ
θείῳ γενομένους, ἐπειδὰν ἅπαξ ἀποθάνωσι, μη-
κέτι αὖθις γίνεσθαι, ἀλλ' εἰς τὸ παντελὲς ἀπεσ-
βηκέναι. τοῦτο δὲ εἴπερ καὶ οὕτως ἔχει, εὖ ἴσθι ὅτι
εἰ ἑτέρως ἔχειν ἔδει, ἐποίησαν ἄν. εἰ γὰρ δί-
καιον ἦν, ἦν ἂν καὶ δυνατόν. καὶ εἰ κατὰ φύσιν,
ἤνεγκεν ἂν αὐτὸ ἡ φύσις. ἐκ δὴ τοῦ μὴ οὕτως ἔ-
χειν, εἴπερ οὐχ οὕτως ἔχει, πιστούσθω σοι τὸ μὴ δεῆ-
σαι οὕτω γίνεσθαι. ὁρᾷς γὰρ καὶ αὐτὸς, ὅτι τοῦτο
παραζη-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

παραζητῶν δικαιολογῇ πρὸς τὸν θεόν. οὐκ ἂν δ' οὕτω διελεγόμεθα τοῖς θεοῖς, εἰ μὴ ἄριστοι καὶ δικαιότατοί εἰσιν. εἰ δὲ τοῦτο, οὐκ ἄν τι περιεῖδον ἀδίκως καὶ ἀλόγως ἠμελημένον τῶν ἐν τῇ διακοσμήσει. Ἔθιζε καὶ ὅσα ἀπογινώσκεις. καὶ γὰρ ἡ χεὶρ ἡ ἀριστερὰ πρὸς τὰ ἄλλα διὰ τὸ ἀνέθιστον ἀργὸς οὖσα, τοῦ χαλινοῦ ἐρρωμενέστερον ἢ ἡ δεξιὰ κρατεῖ. τοῦτο γὰρ εἴθισται. Ὁποῖον δεῖ καταληφθῆναι ὑπὸ τοῦ θανάτου, καὶ σώματι καὶ ψυχῇ τὴν βραχύτητα τοῦ βίου, τὴν ἀχάνειαν τοῦ ὀπίσω καὶ πρόσω αἰῶνος, τὴν ἀσθένειαν πάσης ὕλης, γυμνὰ τῶν φλοιῶν θεάσασθαι τὰ αἰτιώδη. τὰς ἀναφορὰς τῶν πράξεων. τί πόνος, τί ἡδονή. τί θάνατος, τί δόξα. τίς ὁ ἑαυτῷ ἀσχολίας αἴτιος. πῶς οὐδεὶς ὑπ' ἄλλου ἐμποδίζεται. ὅτι πάντα ὑπόληψις. Ὅμοιον δ' εἶναι δεῖ ἐν τῇ τῶν δογμάτων χρήσει, παγκρατιαστῇ, οὐχὶ μονομάχῳ. ὁ μὲν γὰρ τὸ ξίφος ᾧ χρῆται, ἀποτίθεται καὶ ἀναιρεῖται. ὁ δὲ τὴν χεῖρα ἀεὶ ἔχει, καὶ οὐδὲν ἄλλο ἢ συστρέψαι αὐτὴν δεῖ. Τοιαῦτα τὰ πράγματα ὁρᾶν διαιροῦντα εἰς ὕλην, αἴτιον, ἀναφοράν. Ἡλίκην ἐξουσίαν ἔχει ἄνθρωπος μὴ ποιεῖν ἄλλο, ἢ ὅπερ μέλλει ὁ θεὸς ἐπαινεῖν. καὶ δέχεσθαι πᾶν, ὃ ἂν νέμῃ αὐτῷ ὁ θεός. Τὸ ἑξῆς τῇ φύσει, μήτε θεοῖς μεμπτέον. οὐδὲν γὰρ ἑκόντες ἢ ἄκοντες ἁμαρτάνουσι, μήτε ἀνθρώποις,

οὐδὲν γὰρ οὐχὶ ἄκοντες, ὥστε οὐδενὶ μεμπτέον. πῶς γελοῖος καὶ ξένος ὁ θαυμάζων ὅτι οὖν τῶν ἐν βίῳ γινομένων.

Ἤτοι ἀνάγκη εἱμαρμένη, ἀπαράβατος τάξις, ἢ πρόνοια ἱλάσιμος ἢ φυρμὸς εἰκαιότητος ἀπροστάτητος. εἰ μὲν ἀπαράβατος ἀνάγκη, τί ἀντιτείνεις; εἰ δὲ πρόνοια ἐπιδεχομένη τὸ ἱλάσκεσθαι, ἄξιον αὑτὸν ποίησον τῆς ἐκ τοῦ θείου βοηθείας. εἰ δὲ φυρμὸς ἀνηγεμόνευτος, ἀσμένιζε, ὅτι ἐν τοιούτῳ τῷ κλύδωνι αὐτὸς ἔχεις ἐν σαυτῷ τινὰ νοῦν ἡγεμονικόν. κἂν περιφέρῃ σε ὁ κλύδων, περιφερέτω τὸ σαρκίδιον τὸ πνευμάτιον τἆλλα· τὸν γὰρ νοῦν οὐ περιοίσει. ἢ τὸ μὲν τοῦ λύχνου φῶς μέχρι σβεσθῇ, φαίνει, καὶ τὴν αὐγὴν οὐκ ἀποβάλλει· ἡ δὲ ἐν σοὶ ἀλήθεια καὶ δικαιοσύνη καὶ σωφροσύνη, προαποσβήσεται; ἐπὶ τοῦ φαντασίαν παρασχόντος ὅτι ἥμαρτε· τί δαὶ οἶδα εἰ τοῦτο ἁμάρτημα· εἰ δὲ καὶ ἥμαρτον, ὅτι κατέκρινεν αὐτὸς ἑαυτόν. καὶ οὕτως ὅμοιον τοῦτο, τῷ καταδρύπτειν τὴν ἑαυτοῦ ὄψιν. ὅτι ὁ μὴ θέλων τὸν φαῦλον ἁμαρτάνειν, ὅμοιος τῷ μὴ θέλοντι τὴν συκῆν ὀπὸν ἐν τοῖς σύκοις φέρειν, καὶ τὰ βρέφη κλαυθμυρίζεσθαι, καὶ τὸν ἵππον χρεμετίζειν, καὶ ὅσα ἄλλα ἀναγκαῖα. τί γὰρ πάθῃ τὴν ἕξιν ἔχων τοιαύτην. Εἰ οὖν γοργὸς εἶ, ταύτην θεράπευσον. Εἰ μὴ καθήκει μὴ πράξῃς.

εἰ μὴ

εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπῃς. ἡ γὰρ ὁρμή σου ἔσω, εἰς τὸ πᾶν ἀεὶ ὁρᾶν, τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν, καὶ ἀναπτύσσειν διαιροῦντα, εἰς τὸ αἴτιον, εἰς τὸ ὑλικὸν, εἰς τὴν ἀναφορὰν, εἰς τὸν χρόνον, ἐντὸς οὗ πεπαῦσθαι αὐτὸ δεήσει. Αἰσθοῦ ποτὲ, ὅτι κρεῖττόν τι καὶ δαιμονιώτερον ἔχεις ἐν σαυτῷ, τῶν τὰ πάθη ποιούντων, καὶ καθάπαξ τῶν νευροσπαστούντων σε· τί μου νῦν ἐστιν ἡ διάνοια. μὴ φόβος; μὴ ὑποψία; μὴ ἐπιθυμία; μὴ ἄλλο τι τοιοῦτον; Πρῶτον, τὸ μὴ εἰκῆ, μηδὲ ἄνευ ἀναφορᾶς. δεύτερον, τὸ μὴ ἐπ᾽ ἄλλο τι, ἢ ἐπὶ τὸ κοινωνικὸν τέλος τὴν ἀναγωγὴν ποιεῖσθαι. ὅτι μετ᾽ οὐ πολὺ, οὐδεὶς οὐδαμοῦ ἔσῃ, οὐδὲ τούτων τι ἃ νῦν βλέπεις, οὐδὲ τούτων τις τῶν νῦν βιούντων. πάντα γὰρ μεταβάλλειν καὶ τρέπεσθαι καὶ φθείρεσθαι πέφυκεν, ἵνα ἕτερα ἐφεξῆς γίνηται. ὅτι πάντα ἡ ὑπόληψις· καὶ αὐτὴ ἐπὶ σοί. ἆρον οὖν ὅτε θέλεις τὴν ὑπόληψιν, καὶ ὥσπερ κάμψαντι τὴν ἄκραν γαλήνη, σταθερὰ πάντα, καὶ κόλπος ἀκύμων. μία καὶ ἡτισοῦν ἐνέργεια κατὰ καιρὸν παυσαμένη, οὐδὲν κακὸν πάσχει, καθὸ πέπαυται, οὐδὲ ὁ πράξας τὴν πρᾶξιν ταύτην, κατ᾽ αὐτὸ τοῦτο, καθ᾽ ὃ πέπαυται, κακόν τι πέπονθεν. ὁμοίως οὖν τὸ ἐκ πασῶν τῶν πράξεων σύστημα ὅπερ ἐστὶν ὁ βίος, ἐὰν ἐν καιρῷ παύσηται, οὐδὲν κακὸν πά-

χει κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται. οὐδὲ ὁ καταπαύσας ἐν καιρῷ τὸν εἱρμὸν τοῦτον, κακῶς διετέθη. τὸν δὲ καιρὸν, καὶ τὸν ὅρον δίδωσιν ἡ φύσις, ποτὲ μὲν καὶ ἡ ἰδία, ὅταν ἐν γήρᾳ, πάντως δὲ ἡ τῶν ὅλων. ἧς τῶν μερῶν μεταβαλλόντων, νεαρὸς ἀεὶ καὶ ἀκμαῖος ὁ σύμπας κόσμος διαμένει. καλὸν δὲ ἀεὶ πᾶν καὶ ὡραῖον τὸ συμφέρον τῷ ὅλῳ. ἡ οὖν κατάπαυσις τοῦ βίου, ἑκάστῳ οὐ κακὸν μὲν, ὅτι οὐδὲ αἰσχρόν. εἴπερ καὶ ἀπροαίρετον, καὶ οὐκ ἀκοινώνητον, ἀγαθὸν δέ, εἴπερ τῷ ὅλῳ καίριον, καὶ συμφέρον, καὶ συμφερόμενον. οὕτω γὰρ καὶ θεοφόρητος ὁ φερόμενος κατὰ ταὐτὰ θεῷ. καὶ ἐπὶ ταὐτὰ τῇ γνώμῃ φερόμενος.

Τρία ταῦτα δεῖ πρόχειρα ἔχειν, ἐπὶ μὲν ὧν ποιεῖς, εἰ μήτε εἰκῆ, μηδὲ ἄλλως ἢ ὡς ἂν ἡ δίκη αὐτὴ ἐνήργησεν. ἐπὶ δὲ τῶν ἔξωθεν συμβαινόντων, ὅτι ἤτοι κατ' ἐπιτυχίαν, ἢ κατὰ πρόνοιαν. οὔτε δὲ τῇ ἐπιτυχίᾳ μεμπτέον οὔτε τῇ προνοίᾳ ἐγκλητέον. δεύτερον, τὸ ὁποῖον ἕκαστον ἀπὸ σπέρματος, μέχρι ψυχώσεως, καὶ ἀπὸ ψυχώσεως, μέχρι τοῦ τὴν ψυχὴν ἀποδοῦναι, καὶ ἐξ οἵων ἡ σύγκρισις, καὶ εἰς οἷα ἡ λύσις. τρίτον, εἰ ἄνω μετέωρος ἐξαρθεὶς κατασκέψαιο τὰ ἀνθρώπεια, καὶ τὴν πολυτροπίαν ὅση κατανοήσαις, συνιδὼν ἅμα, καὶ ὅσον τὸ περιοικοῦν, ἐναερίων καὶ αἰθερίων. καὶ ὅτι ὁσάκις ἂν ἐξαρ-

δῆς, ταῦτα ὄψει. τὸ ὁμοειδὲς, τὸ ὀλιγοχρόνιον. ἐπὶ τούτοις, ὁ τῦφος. Βάλε ἔξω τὴν ὑπόληψιν, σέσωσαι. τίς οὖν ὁ κωλύων ἐκβάλλειν; Ὅταν δυσφορῇς ἐπί τινι, ἐπελάθου τοῦ, ὅτι πάντα κατὰ τὴν τῶν ὅλων φύσιν γίνεται· καὶ τοῦ, ὅτι τὸ ἁμαρτανόμενον ἀλλότριον. καὶ ἔτι τούτοις τοῦ, ὅτι πᾶν τὸ γινόμενον οὕτως ἀεὶ ἐγίνετο, καὶ γενήσεται καὶ νῦν πανταχοῦ γίνεται. τοῦ, ὅση ἡ συγγένεια ἀνθρώπου πρὸς πᾶν τὸ ἀνθρώπειον γένος. οὐ γὰρ αἱματίου, ἢ σπερματίου, ἀλλὰ νοῦ κοινωνία. ἐπελάθου δὲ καὶ τοῦ, ὅτι ὁ ἑκάστου νοῦς θεὸς, καὶ ἐκεῖθεν ἐρρύηκε. τοῦ, ὅτι οὐδὲν ἴδιον οὐδενός· ἀλλὰ καὶ τὸ τεκνίον, καὶ τὸ σωμάτιον, καὶ αὐτὸ τὸ ψυχάριον ἐκεῖθεν ἐλήλυθεν. τοῦ, ὅτι πάντ' ὑπόληψις. τοῦ, ὅτι τὸ παρὸν μόνον ἕκαστος ζῇ, καὶ τοῦτο ἀποβάλλει. συνεχῶς ἀναπολεῖν, τοὺς ἐπί τινι λίαν ἀγανακτήσαντας, τοὺς ἐν μεγίσταις δόξαις, ἢ συμφοραῖς, ἢ ἔχθραις, ἢ ὁποιαισοῦν τύχαις ἀκμάσαντας. εἶτα ἐφιστάνειν, ποῦ νῦν πάντα ἐκεῖνα; καπνὸς, καὶ σποδὸς, καὶ μῦθος, ἢ οὐδὲ μῦθος. συμπροσπιπτέτω δὲ καὶ τὸ τοιοῦτο πᾶν, οἷον, Φάβιος Κατουλλῖνος ἐπ' ἀγροῦ. ὁ Λούσιος Λοῦπος, καὶ Στερτίνιος ἐν Βαΐαις, καὶ Τιβέριος ἐν Καπρίαις, καὶ Οὐήλιος Ῥοῦφος, καὶ ὅλως ἡ πρὸς ὁτιοῦν μετ' οἰήσεως διαφορά. καὶ ὡς εὐτε-

εὐτελὲς πᾶν τὸ κατατεινόμενον. ὅσῳ φιλοσοφώτερον τὸ ἐπὶ τῆς δοθείσης ὕλης ἑαυτὸν δίκαιον, σώφρονα, θεοῖς ἑπόμενον ἀφελῶς παρέχειν. ὁ γὰρ ὑπὸ ἀτυφίᾳ τῦφος τυφόμενος πάντων χαλεπώτατος. Πρὸς τοὺς ἐπιζητοῦντας, ποῦ γὰρ ἰδὼν τοὺς θεοὺς, ἢ πόθεν κατειληφὼς ὅτι εἰσὶν οὕτω σέβεις· πρῶτον μὲν καὶ ὄψει ὁρατοί εἰσιν· ἔπειτα μέντοι οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυτοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. οὕτως οὖν καὶ τοὺς θεούς, ἐξ ὧν τῆς δυνάμεως αὐτῶν ἑκάστοτε πειρῶμαι, ἐκ τούτων ὅτι τέ εἰσι καταλαμβάνω, καὶ αἰδοῦμαι. Σωτηρία βίου, ἕκαστον δι' ὅλου αὐτὸ τί ἐστιν ὁρᾶν. τί μὲν αὐτοῦ τὸ ὑλικὸν, τί δαὶ τὸ αἰτιῶδες. ἐξ ὅλης τῆς ψυχῆς τὰ δίκαια ποιεῖν, καὶ τἀληθῆ λέγειν. τί λοιπὸν, ἢ ἀπολαύειν τοῦ ζῆν συνάπτοντα ἄλλο ἐπ' ἄλλῳ ἀγαθὸν, ὥστε μηδὲ τὸ βραχύτατον διάστημα ἀπολείπειν. Ἓν φῶς ἡλίου κἂν διείργηται τοίχοις, ὄρεσιν, ἄλλοις μυρίοις, μία οὐσία κοινή, κἂν διείργηται ἰδίως ποιοῖς σώμασι μυρίοις. μία ψυχὴ, κἂν φύσεσι διείργηται μυρίαις, καὶ ἰδίαις περιγραφαῖς. μία νοερὰ ψυχὴ, κἂν διακεκρίσθαι δοκῇ. τὰ μὲν οὖν ἄλλα μέρη τῶν εἰρημένων, οἷον πνεύματα καὶ ὑποκείμενα, ἀναίσθητα καὶ ἀνοικείωτα ἀλλήλοις, καίτοι κἀκεῖνα τὸ νοοῦν συνέχει, καὶ τὸ ἔπειτα αὐτὰ βρῖθον διά-

νοια

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ποία δὲ ἰδίως ἐπὶ τὸ ὁμόφυλον γίνεται, καὶ συ-
νίσταται, καὶ οὐ διείργεται τὸ κοινωνικὸν πάθος.
Τί ἐπιζητεῖς· τὸ διαγίνεσθαι; ἀλλὰ τὸ αἰσθαί-
νεσθαι; τὸ ὁρμᾶν. τὸ αὔξεσθαι; τὸ λήγειν αὖθις;
τὸ φωνῇ χρῆσθαι; τὸ διανοεῖσθαι; τί τούτων πό-
θου σοι ἄξιον δοκεῖ; εἰ δὲ ἕκαστα εὐκαταφρόνη-
τα, πρόσιθι ἐπὶ τελευταῖον, τὸ ἕπεσθαι τῷ
λόγῳ καὶ τῷ θεῷ. ἀλλὰ μάχεται τῷ τιμᾶν
ταῦτα, τὸ ἄχθεσθαι. εἰ διὰ τοῦ τεθνηκέναι στε-
ρήσεταί τις αὐτῶν; Πόστον μέρος τοῦ ἀπείρου
καὶ ἀχανοῦς αἰῶνος ἀπομεμέρισται ἑκάστῳ. τά-
χιστα γὰρ ἐναφανίζεται τῷ ἀϊδίῳ. πόστον δὲ
τῆς ὅλης οὐσίας; πόστον δὲ τῆς ὅλης ψυχῆς; ἐν
πόστῳ δὲ βωλαρίῳ τῆς ὅλης γῆς ἕρπεις; πάντα
ταῦτα ἐνθυμούμενος, μηδὲν μέγα φαντάζου,
ἢ τὸ ὡς μὲν ἡ σὴ φύσις ἄγει, ποιεῖν. πάσχειν δὲ,
ὡς ἡ κοινὴ φύσις φέρει, πῶς ἑαυτῷ χρῆται τὸ
ἡγεμονικόν. ἐν γὰρ τούτῳ τὸ πᾶν ἐστι. τὰ δὲ
λοιπὰ, ἢ προαιρετά ἐστιν, ἢ ἀπροαίρετα, νε-
κρὰ καὶ καπνός. Πρὸς θανάτου καταφρόνη-
σιν ἐγερτικώτατον, ὅτι καὶ οἱ τὴν ἡδονὴν ἀγα-
θὸν καὶ τὸν πόνον κακὸν κρίνοντες, ὅμως τούτου
κατεφρόνησαν. ᾯ τὸ εὔκαιρον μόνον ἀγαθὸν, καὶ
ᾧ τὸ πλείους κατὰ λόγον ὀρθὸν πράξεις ἀποδοῦ-
ναι, τῷ ὀλιγωτέρας, ἐν ἴσῳ ἐστί, καὶ ᾧ τὸν κόσμον θεω-
ρῆσαι πλέονι ἢ ἐλάσσονι χρόνῳ οὐ διαφέρει,

τοῦτο

τούτῳ οὐδὲ ὁ θάνατος φοβερόν. Ἄνθρωπε, ἐπολιτεύσω ἐν τῇ μεγάλῃ ταύτῃ πόλει; τί σοι διαφέρει εἰ πέντε ἔτεσι; Τὸ γοῦν κατὰ τοὺς νόμους, ἴσον ἑκάστῳ. τί οὖν δεινὸν εἰ τῆς πόλεως ἀποπέμπει σε οὐ τύραννος, οὐδὲ δικαστὴς ἄδικος, ἀλλ' ἡ φύσις ἡ εἰσαγαγοῦσα; οἷον εἰ κωμῳδὸν ἀπολύοι τῆς σκηνῆς ὁ παραλαβὼν στρατηγός. ἀλλ' οὐκ εἶπον τὰ πέντε μέρη, ἀλλὰ τὰ τρία. καλῶς εἶπας, ἐν μέντοι τῷ βίῳ τὰ τρία ὅλον τὸ δρᾶμά ἐστι. τὸ γὰρ τέλειον, ἐκεῖνος ὁρίζει. ὁ τότε μὲν τῆς συγκρίσεως, νῦν δὲ τῆς διαλύσεως αἴτιος, σὺ δὲ ἀναίτιος ἀμφοτέρων. ἄπιθι οὖν ἵλεως, καὶ γὰρ ὁ ἀπολύων ἵλεως.

Τέλος τῶν τοῦ Ἀντωνίνου ιβ΄ βιβλίον.